Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: cui-ab

Ἵππων ὁ Σάμιος · Hippon of Samos

# Fragments on Oceanic Hydrology

Ἀποσπάσματα περὶ Ὠκεανίου Ὑδρολογίας

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Presocratic

1 SCHOL. HOMER. Genev. p. 197, 19 Nicole zu Homer Φ 195: ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι· τῶι οὐδὲ κρείων Ἀχελώιος ἰσοφαρίζει οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο, ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν. Κράτης δὲ ἐν β τῶν Ὁμηρικῶν δεικνύς, ὅτι Ὠκεανὸς 'Μεγάλη θάλασσα'· "ταῦτα γάρ, φησίν, μόνως ἂν ἁρμόττοι ῥηθῆναι περὶ τῆς ἐκτὸς θαλάσσης, ἣν ἔτι καὶ νῦν οἱ μὲν 'Μεγάλην θάλατταν', οἱ δὲ 'Ἀτλαντικὸν πέλαγοσ', οἱ δὲ Ὠκεανὸν προσαγορεύουσιν. ποταμὸς δὲ ποῖος ἂν δύναιτο ταύτην ἔχειν τὴν δύναμιν; καίτοι γ' ἔνιοι ἐξαιροῦντες τὸν περὶ τοῦ Ὠκεανοῦ στίχον [195] τῶι Ἀχελώιωι περιτιθέασι ταῦτα, ὃς οὐχ ὅτι τῆς θαλάσσης μείων ἐστίν, ἀλλὰ καὶ τῶν ἐν αὐτῆι κόλπων, λέγω δὴ Τυρρηνικοῦ 〈καὶ〉 Ἰονίου. εἶπε δὲ τοῖς τρισίν [195—197], φησίν, ὅ τι καὶ οἱ μετὰ ταῦτα φυσικοὶ συνεφώνησαν, τὸ περιέχον τὴν γῆν κατὰ τὸ πλεῖστον μέρος ὕδωρ Ὠκεανὸν εἶναι, ἐξ οὗπερ τὸ πότιμον. Ἵππων· ' τὰ γὰρ ὕδατα πινόμενα πάντα ἐκ τῆς θαλάσσης ἐστίν · οὐ γὰρ δή που τὰ φρέατα βαθύτερα ἢ ἡ θάλασσά ἐστιν ἐξ ὧν πίνομεν · οὕτω γὰρ οὐκ 〈ἂν〉 ἐκ τῆς θαλάσσης τὸ ὕδωρ εἴ η , ἀλ λ ' ἄλλοθέν ποθε ν . νῦν δὲ ἡ θάλασσα βαθυτέρα ἐστὶ τῶν ὑδάτω ν . ὅσα οὖν καθύπερθεν τῆς θαλάσσης ἐστ ί , πάντα ἀ π ' αὐτῆς ἐστιν '. οὕτως τὰ αὐτὰ εἴρηκεν Ὁμήρωι".

2 CLEM. Protr. 55 (I 43, 1 St.) οὐ νέμεσις τοίνυν οὐδὲ Ἵππωνι ἀπαθανατίζοντι τὸν θάνατον τὸν ἑαυτοῦ· ὁ Ἵ. οὗτος ἐπιγραφῆναι ἐκέλευσεν τῶι μνήματι τῶι ἑαυτοῦ τόδε τὸ ἐλεγεῖον [Anth. L. I 74 D.]· ' Ἵππωνος .. . καταφθίμενον '. ALEX. in Metaph. 27, 1 τοῦτο δὲ λέγοι ἂν [Arist.] περὶ αὐτοῦ, ὅτι ἄθεος ἦν· τοιοῦτο γὰρ καὶ τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα· ' Ἵππωνος .. . καταφθίμενον ' . Ἵππωνος τόδε σῆμ α , τὸν ἀθανάτοισι θεοῖσιν ἶσον ἐποίησεν Μοῖρα καταφθίμενο ν.

3 ATHEN. XIII 610 B πάντων αὐτὸν ἐπὶ τῆι μνήμηι θαυμασάντων ὁ Κύνουλκος ἔφη ' πουλυμαθημοσύνης τῆς οὐ κενεώτερον οὐδέν ' 〈 *** 〉 Ἵππων ἔφη ὁ ἄθεος.

4 CLAUDIAN. MAMERT. de anima 7 p. 121, 14 Eng. H. Metapontinus ex eadem schola Pythagorae praemissis pro statu sententiae suae insolubilibus argumentis de anima sic pronuntiat ' longe aliud anim a , aliud corpus es t , quae corpore et torpente viget et caeco videt et mortuo vivit '.